# ΞΕΝΟΦΩΝΤΟΣ

## ΕΛΛΗΝΙΚΩΝ Α

Μετὰ δὲ ταῦτα οὐ πολλαῖς ἡμέραις ὕστερον ἦλθεν ἐξ 1
Ἀθηνῶν Θυμοχάρης ἔχων ναῦς ὀλίγας· καὶ εὐθὺς ἐναυμά-
χησαν αὖθις Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι, ἐνίκησαν δὲ
Λακεδαιμόνιοι ἡγουμένου Ἀγησανδρίδου. μετ᾽ ὀλίγον δὲ 2
τούτων Δωριεὺς ὁ Διαγόρου ἐκ Ῥόδου εἰς Ἑλλήσποντον
εἰσέπλει ἀρχομένου χειμῶνος τέτταρσι καὶ δέκα ναυσὶν ἅμα
ἡμέρᾳ. κατιδὼν δὲ ὁ τῶν Ἀθηναίων ἡμεροσκόπος ἐσήμηνε
τοῖς στρατηγοῖς. οἱ δὲ ἀνηγάγοντο ἐπ᾽ αὐτὸν εἴκοσι ναυσίν,
ἃς ὁ Δωριεὺς φυγὼν πρὸς τὴν γῆν ἀνεβίβαζε τὰς αὑτοῦ
τριήρεις, ὡς ἤνοιγε, περὶ τὸ Ῥοίτειον. ἐγγὺς δὲ γενομένων 3
τῶν Ἀθηναίων ἐμάχοντο ἀπό τε τῶν νεῶν καὶ τῆς γῆς μέχρι
οἱ Ἀθηναῖοι ἀπέπλευσαν εἰς Μάδυτον πρὸς τὸ ἄλλο στρατό-
πεδον οὐδὲν πράξαντες. Μίνδαρος δὲ κατιδὼν τὴν μάχην 4
ἐν Ἰλίῳ θύων τῇ Ἀθηνᾷ, ἐβοήθει ἐπὶ τὴν θάλατταν, καὶ
καθελκύσας τὰς ἑαυτοῦ τριήρεις ἀπέπλει, ὅπως ἀναλάβοι τὰς
μετὰ Δωριέως. οἱ δὲ Ἀθηναῖοι ἀνταναγαγόμενοι ἐναυμά- 5
χησαν περὶ Ἄβυδον κατὰ τὴν ᾐόνα, μέχρι δείλης ἐξ ἑωθινοῦ.
καὶ τὰ μὲν νικώντων, τὰ δὲ νικωμένων, Ἀλκιβιάδης ἐπεισπλεῖ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415836522/11 UNIVERSITÄT LEIPZIG